**ΤΑ ΕΓΚΩΜΙΑ ΤΟΥ ΕΠΙΤΑΦΙΟΥ ΘΡΗΝΟΥ**
**ΜΕΤΑ ΤΩΝ ΣΤΙΧΩΝ ΤΟΥ 118ου ΨΑΛΜΟΥ**

1η ἔκδοσις: Μάρτιος 2015

Διόρθωσις καὶ μετρικὴ ἀποκατάστασις τοῦ κειμένου, διακόσμησις, ἠλεκτρονικὴ ἐπεξεργασία καὶ ἐκδοτικὴ ἐπιμέλεια: Ἱερὰ Μονὴ Παρακλήτου, Ὠρωπὸς Ἀττικῆς.

ISBN: 978-960-9626-41-5

## ΣΤΑΣΙΣ ΠΡΩΤΗ

Ἄρχεται πρῶτος ὁ ἱερεύς, ὅστις ψάλλει τὸ παρὸν α΄ τροπάριον ἅπαξ ἄνευ στίχου· εἶτα ψάλλει ὁ α΄ χορὸς τὸ αὐτὸ τροπάριον, ὡσαύτως ἅπαξ, ἄνευ στίχου.

**Ἦχος πλ. α΄.**

1. Ἡ ζωή, ἐν τάφῳ
κατετέθης, Χριστέ,
καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο,
συγκατάβασιν δοξάζουσαι τὴν σήν.

2. ***Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.***

Ἡ ζωὴ πῶς θνήσκεις;
πῶς καὶ τάφῳ οἰκεῖς;
τοῦ θανάτου τὸ βασίλειον λύεις δέ,
καὶ τοῦ ᾅδου τοὺς νεκροὺς ἐξανιστᾷς.

3. ***Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ· ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.***

Μεγαλύνομέν σε,
Ἰησοῦ Βασιλεῦ,
καὶ τιμῶμεν τὴν ταφὴν καὶ τὰ πάθη σου,
δι᾿ ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.



68. ***Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.***

Ὦ Θεὲ καὶ Λόγε,
ὢ χαρὰ ἡ ἐμή,
πῶς ἐνέγκω σου ταφὴν τὴν τριήμερον;
νῦν σπαράττομαι τὰ σπλάγχνα μητρικῶς.

69. ***Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.***

Τίς μοι δώσει ὕδωρ
καὶ δακρύων πηγάς,
ἡ Θεόνυμφος Παρθένος ἐκραύγαζεν,
ἵνα κλαύσω τὸν γλυκύν μου Ἰησοῦν;

70. ***Χρηστὸς εἶ σύ, Κύριε, καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.***

Ὦ βουνοὶ καὶ νάπαι
καὶ ἀνθρώπων πληθύς,
οἴμοι! κλαύσατε καὶ πάντα θρηνήσατε
σὺν ἐμοὶ τῇ τοῦ Θεοῦ ὑμῶν Μητρί.

71. ***Ἐπληθύνθη ἐπ᾿ ἐμὲ ἀδικία ὑπερηφάνων, ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.***

Πότε ἴδω, Σῶτερ,
σέ, τὸ ἄχρονον φῶς,
τὴν χαρὰν καὶ ἡδονὴν τῆς καρδίας μου;
ἡ Παρθένος ἀνεβόα γοερῶς.



72. ***Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.***

Κἂν ὡς πέτρα, Σῶτερ,
ἡ ἀκρότομος σὺ
κατεδέξω τὴν τομήν, ἀλλ᾿ ἐπήγασας
ζῶν τὸ ῥεῖθρον ὡς πηγὴ ὢν τῆς ζωῆς.

73. ***Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.***

Ὡς μιᾶς ἐκ κρήνης
τὸν διπλοῦν ποταμὸν
τῆς πλευρᾶς σου προχεούσης ἀρδόμενοι,
τὴν ἀθάνατον καρπούμεθα ζωήν.

74. ***Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.***

Θέλων ὤφθης, Λόγε,
ἐν τῷ τάφῳ νεκρός,
ἀλλὰ ζῇς καὶ τοὺς βροτούς, ὡς προείρηκας,
ἀναστάσει σου, Σωτήρ μου, ἐγερεῖς.

75. ***Δόξα Πατρί... Τριαδικόν.***

Ἀνυμνοῦμεν, Λόγε,
σέ, τὸν πάντων Θεόν,
σὺν Πατρὶ καὶ τῷ ἁγίῳ σου Πνεύματι,
καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.



76. ***Καὶ νῦν... Θεοτοκίον.***

Μακαρίζομέν σε,
Θεοτόκε ἁγνή,
καὶ τιμῶμεν τὴν ταφὴν τὴν τριήμερον
τοῦ Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν πιστῶς.

Καὶ πάλιν τὸ πρῶτον τροπάριον μετὰ μέλους ὑπὸ τοῦ α΄ χοροῦ.

Ἡ ζωή, ἐν τάφῳ
κατετέθης, Χριστέ,
καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο,
συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Εἶτα συναπτὴ μικρὰ παρὰ τοῦ ἱερέως καὶ ἡ ἐκφώνησις:

Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα καὶ δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

Ἄρχεται καὶ πάλιν πρῶτος ὁ ἱερεύς, ὅστις ψάλλει τὸ παρὸν α΄ τροπάριον ἅπαξ ἄνευ στίχου· εἶτα ψάλλει ὁ β΄ χορὸς τὸ αὐτὸ τροπάριον, ὡσαύτως ἅπαξ, ἄνευ στίχου.

**Ἦχος πλ. α΄.**

1. Ἄξιόν ἐστι
μεγαλύνειν σε, τὸν Ζωοδότην,
τὸν ἐν τῷ σταυρῷ τὰς χεῖρας ἐκτείναντα
καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

2. ***Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.***

Ἄξιόν ἐστι
μεγαλύνειν σε, τὸν πάντων Κτίστην·
τοῖς σοῖς γὰρ παθήμασιν ἔχομεν
τὴν ἀπάθειαν, ῥυσθέντες τῆς φθορᾶς.

3. ***Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα.***

Ἔφριξεν ἡ γῆ
καὶ ὁ ἥλιος, Σῶτερ, ἐκρύβη,
σοῦ, τοῦ ἀνεσπέρου φωτός, Χριστέ,
τάφῳ δύναντος σμικρῷ σωματικῶς.